....]μαλέαι ποτ[ὲ ......].΄ιων
....]νος ἐφάμερον α[......].
___ ....]α σκοπεῖς· βραχ[ύς ἐστιν αἰών·
....].΄εσσα δ' ἐλπὶς ὑπ[⏑⏑–⏑–⏓
ἐφαμ]ερίων· ὁ δ' ἄναξ [Ἀπόλλων
.....].΄λος εἶπε Φέρη[τος υἷι·
col 9 (5) ___ „θνατὸν εὖντα χρὴ διδύμους ἀέξειν
γνώμας, ὅτι τ' αὔριον ὄψεαι
μοῦνον ἁλίου φάος,
χὤτι πεντήκοντ' ἔτεα
ζωὰν βαθύπ'λουτον τελεῖς.
ὅσια δρῶν εὔφραινε θυμόν· τοῦτο γὰρ
)___ κερδέων ὑπέρτατον.“
Ζ' φρονέοντι συνετὰ γαρύω· βαθὺς μέν
αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου
οὐ σάπεται· εὐφροσύνα δ' ὁ χρυσός·
___ ἀνδρὶ δ' οὐ θέμις, πολιὸν π[αρ]έντα
γῆρας, θάλ[εια]ν αὖτις ἀγκομίσσαι
ἥβαν. ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει
βροτῶν ἅμα σ[ώμ]ατι φέγγος, ἀλλὰ
___ Μοῦσά νιν τρ[έφει.] Ἱέρων, σὺ δ' ὄλβου
κάλλιστ' ἐπεδ[είξ]αο θνατοῖς
ἄνθεα· π'ράξα[ντι] δ' εὖ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391258X/18 UNIVERSITÄT LEIPZIG